

# Ἄδουσι τὴν ᾨδὴν τοῦ Ἀρνίου
(Ἀποκαλ. ιε΄ 3)



## Ἐπὶ τῇ ἱερᾷ Μνήμῃ
## τοῦ Ἁγίου Ῥοβέρτου, Φωτιστοῦ τῆς Βαυαρίας καὶ πολιούχου τοῦ Σαλισβούργου τῆς Αὐστρίας
**27ῃ Μαρτίου**




### Ἀπολυτίκιον*
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν Ἰσαπόστολον, καὶ θεοκίνητον, τὸν διαλάμψαντα, ἐν ἁγιότητι, θεῖον Ῥοβέρτον οἱ πιστοί, ὑμνοῦμεν ἐν εὐλαβείᾳ· σκότος διαλύσαντα, καὶ τὴν πλάνην διώξαντα, Τριάδος τε τῇ Χάριτι, καθελόντα τὰ εἴδωλα· φωτίσαντα δὲ γῆν Βαυαρίας, λόγοις καὶ πλήθεσι θαυμάτων.

### Κοντάκιον*
Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ Στρατηγῷ.

Ἰσαποστόλου προσκυνήσωμεν τὰ Λείψανα, τοῦ διαλάμψαντος σημείοις τε καὶ θαύμασιν, ἐν τῇ χώρᾳ Βαυαρίας τε καὶ Αὐστρίας· τῶν εἰδώλων ἀπελάσαντα σκοτόμαιναν, τὸν Ῥοβέρτον τῆς Τριάδος οἰκτήριον· ὅθεν κράξωμεν· Χαίροις, Πάτερ πανθαύμαστε!

### Μεγαλυνάριον*
Ἦχος πλ. δ΄.

Χαίροις Βαυαρίας ὁ Φωτιστής, εἴδωλα κρημνίσας, Ἀληθείᾳ τῇ τοῦ Χριστοῦ, Τριάδα κηρύξας, Θεότητος Μονάδι, Ῥοβέρτε Ἀποστόλων, ὁ ἰσοστάσιος.

---

**(*)** Ἐποιήθησαν, Χάριτι Θείᾳ, ὑπὸ † Σεβασμ. Μητροπολίτου Ὠρωποῦ καὶ Φυλῆς Κυπριανοῦ, τῇ 26ῃ Ὀκτωβρίου 2018ῳ ἐκ. ἡμ.